ἐστι κομιδῇ καὶ ἀβέλτερον τὸ πάθος· καὶ γὰρ οἱ παῖδες
ἴριδας μᾶλλον καὶ ἅλως καὶ κομήτας ἢ σελήνην καὶ ἥλιον
ὁρῶντες γεγήθασι καὶ ἀγαπῶσι, καὶ οὗτοι τὰ αἰνίγματα D
καὶ τὰς ἀλληγορίας ⟨καὶ⟩ τὰς μεταφορὰς τῆς μαντικῆς
ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν καὶ φανταστικὸν ἐπι-
ποθοῦσι· κἂν τὴν αἰτίαν μὴ ἱκανῶς πύθωνται τῆς μετα-
βολῆς, ἀπίασι τοῦ θεοῦ καταγνόντες, οὐχ ἡμῶν οὐδ'
αὑτῶν ὡς ἀδυνάτων ὄντων ἐξικνεῖσθαι τῷ λογισμῷ πρὸς
τὴν τοῦ θεοῦ διάνοιαν.'

26. E

# ΠΕΡΙ ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ

(Plan. 69)

**1.** Ἀετούς τινας ἢ κύκνους, ὦ Τερέντιε Πρῖσκε, μυθο-
λογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ τὸ μέσον φερο-
μένους εἰς ταὐτὸ συμπεσεῖν Πυθοῖ περὶ τὸν καλούμενον
ὀμφαλόν· ὕστερον δὲ χρόνῳ τὸν Φαίστιον Ἐπιμενίδην
ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ καὶ λαβόντα χρησμὸν F
ἀσαφῆ καὶ ἀμφίβολον εἰπεῖν (fr. 11)

οὐκ ἄρ' ἔην γαίης μέσος ὀμφαλὸς οὐδὲ θαλάσσης·
εἰ δέ τις ἔστι, θεοῖς δῆλος θνητοῖσι δ' ἄφαντος.'